καί, τῶν ἐν τῇ ἀποστασίᾳ πώποτε γεγονότων πρὸς πᾶσαν
δραματουργίαν δεινότατόν τε καὶ πιθανώτατον. Οὗτος ὁ
ἐπάρατος ἄλλα τε ἔκθεσμα τοὺς ἠπατημένους μυστα-
γωγῶν, καὶ τὴν περὶ αὐτοῦ δόξαν κατὰ μικρὸν εἰς τὸ
ἐξηχημένον τούτοις παρατιθεὶς καὶ καταπιστεύων· οὐδὲ πα-
ράκλητον, οὐδὲ πνεῦμα ἅγιον, ὢ γλώσσης καὶ ψυχῆς
καὶ νοῦ καὶ στομάτων θεομάχων! καλεῖν ἑαυτόν, κἀκεῖνο
ὀνομάζειν τε καὶ νομίζειν, ὤκνει, οὔτε φρικτὸν ἦγεν, οὔτ'
ἀθεώτατον. Παρεδίδου δὲ ταῦτα μυστικῶς καὶ φρονεῖν
καὶ λέγειν πρὸς ἀλλήλους, τοὺς ἔξωθεν ἀκροατὰς ἀνα-
ξίους εἶναι τελετῆς τοιαύτης καὶ μυστηρίων, ὁ θεομάχος
διατιθέμενος. Καὶ δῆτα τρισάθλιοι καὶ τῆς ἐκείνου μυσ-
ταγωγίας, ὡς ἀληθῶς, ἄξιοι τὴν τοσαύτην τοῦ ἄγους ὑπερβο-
λήν, οὔτε διέπτυσαν, οὔτε ἐμυσάττοντο· ἀλλ' ἀπεδέχοντο
τὴν μηδεμιᾷ ἀθεότητι ὑπερβολὴν λιπούσαν ἀσέβειαν, καὶ
τοῖς παρ' ἑαυτῶν ἐπεκύρουν ψηφίσμασιν. οὕτως τὸ
ἄθλιον, ὤμοι, ζῶον ὁ ἄνθρωπος, ἐπειδὰν ἀποστῇ τοῦ πλάσ-
του καὶ τῆς ἐκεῖθεν αὐτὸν προνοίας ἀποστέρῃ, ~~γὰρ~~ ὅλος γί-
νεται θήραμα τοῦ πονηροῦ, καὶ πρὸς πᾶσαν κακίαν
ὑποβρύχιος φέρεται. Ἔλεγε δ' οὖν ἑαυτὸν ὁ ἐξάγιστος ἐ-
κεῖνος, καὶ λυχνοφανῆ ἀστέρα, καὶ πολλὰ ἄλλα, σιγᾶσθαι
μᾶλλον, ἢ θριαμβεύεσθαι ἄξια. Ἀλλὰ γὰρ οὗτος ὁ θεοβλα-
βὴς Σέργιος πατρὸς γεγονὼς δυσσεβεστάτου, ὡς μοι εἴρη-
ται, οὐκ ἐκ τοῦ φύντος τὰ τῆς ἀποστασίας τελεῖται μυ-
στήρια. Ἔτι δὲ τὴν ἡλικίαν νέαν ἄγων προσφθείρεται
γυναικί τινι πρεσβευούσῃ τε καὶ κηρυττούσῃ τὰ Μανιχαίων
ὀλέθρια δόγματα. Καὶ συχνὸν χρόνον τελεσθεὶς ὑπ' αὐ-
τῆς καὶ συντελεσθεὶς τὴν ἀσέβειαν, γίνεται τοῦ ἀντι-

χρίστου